# Anaximandros

## ᾿Αναξίμανδρος

Fragmenta DK 12 B

**B 1** = Simplikios, *In Physica* 24,13 (část A 9 /1)

λέγει δ᾽ αὐτὴν [ἀρχὴν] μήτε ὕδωρ μήτε ἄλλο τι τῶν καλουμένων εἶναι στοιχείων, ἀλλ᾽ ἑτέραν τινὰ
φύσιν ἄπειρον, ἐξ ἧς ἅπαντας γίνεσθαι τοὺς οὐρανοὺς καὶ τοὺς ἐν αὐτοῖς κόσμους·
(B 1) ἐξ ὧν δὲ ἡ γένεσίς ἐστι τοῖς οὖσι, καὶ τὴν φθορὰν εἰς ταῦτα γίνεσθαι
**κατὰ τὸ χρεών·**
**διδόναι γὰρ αὐτὰ δίκην καὶ τίσιν ἀλλήλοις τῆς ἀδικίας**
**κατὰ τὴν τοῦ χρόνου τάξιν**,
ποιητικωτέροις οὕτως ὀνόμασιν αὐτὰ λέγων.

**B 2** = Hippolytos, *Refutatio* I,6,1 Marcovich = A 11,1

οὗτος ἀρχὴν ἔφη τῶν ὄντων φύσιν τινὰ τοῦ ἀπείρου, ἐξ ἧς γίνεσθαι τοὺς οὐρανοὺς καὶ τὸν ἐν αὐτοῖς κόσμους. ταύτην δ᾽
(B 2) **ἀίδιον εἶναι καὶ ἀγήρω**,
ἣν καὶ πάντας περιέχειν τοὺς κόσμους.
λέγει δὲ [καὶ] χρόνον ὡς ὡρισμένης τῆς γενέσεως τοῖς οὖσι καὶ τῆς φθορᾶς.

Cfr. Platón, Phaedo 106b1-2:
Οὐκοῦν καὶ ὧδε, ἔφη, ἀνάγκη περὶ τοῦ ἀθανάτου εἰπεῖν; εἰ μὲν τὸ ἀθάνατον καὶ ἀνώλεθρόν ἐστιν, ἀδύνατον ψυχῇ, ὅταν θάνατος ἐπ' αὐτὴν ἴῃ, ἀπόλλυσθαι·

**B 3** = Aristotelés, *Physica* III,4; 203b13 = část A 15

καὶ τοῦτ᾽ εἶναι τὸ θεῖον·
(B 3) **ἀθάνατον γὰρ καὶ ἀνώλεθρον**,
ὥς φησιν ὁ Αναξίμανδρος καὶ οἱ πλεῖστοι τῶν φυσιολόγων.

Viz Platón, *Phaedo* 106b1–2:
Οὐκοῦν καὶ ὧδε, ἔφη, ἀνάγκη περὶ τοῦ ἀθανάτου εἰπεῖν; εἰ μὲν τὸ ἀθάνατον καὶ ἀνώλεθρόν ἐστιν, ἀδύνατον ψυχῇ, ὅταν θάνατος ἐπ' αὐτὴν ἴῃ, ἀπόλλυσθαι·

**B 4** = Áetios II,20,1 Mansfeld–Runia = část A 21 /2; viz A 22 /1

... **ὥσπερ διὰ πρηστῆρος αὐλοῦ**.

**B 5** = Áetios III,10,2 Diels-Kranz = A 25; viz A 11,3; viz A 10

᾿Αναξίμανδρος (B 5) **λίθωι κίονι** τὴν γῆν προσφερῆ·

## Snad pravý Anaximandros mimo řadu zlomků „B“ edice Diles–Kranz:

**1.** Anaximandrovy výrazy spatřujeme v části testimonia A 10 = Pseudo-Plútarchos, *Stromata* 2, fr. 179.19–25 Sandbach, v: Eusebios, *Paeparatio evangelica* I,8,1–2:

φησὶ δὲ τὸ ἐκ τοῦ ἀιδίου **γόνιμον** θερμοῦ τε καὶ ψυχροῦ κατὰ τὴν γένεσιν τοῦδε τοῦ κόσμου ἀποκριθῆναι καί τινα ἐκ τούτου φλογὸς σφαῖραν περιφυῆναι τῶι περὶ τὴν γῆν ἀέρι **ὡς τῶι δένδρωι φλοιόν**·

**ἧστινος ἀπορραγείσης καὶ εἴς τινας ἀποκλεισθείσης κύκλους** ὑποστῆναι τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας.

**2.** Za citát nebo ozvěnu Anaximandra považujeme (jako už W. Bröcker) zlomek Hérakleitos B 126 = Tzetzés, *Scholia ad exeg. in Iliad.*, p. 126 Herman:

τὰ ψυχρὰ θέρεται,
θερμὸν ψύχεται,
ὑγρὸν αὐαίνεται,

καρφαλέον νοτίζεται.

Viz Pseudo-Hérakleitos, *Epistulae* 5.
Viz Híérakleitos C 1,17; C 1,21; C 1,22 = Hippokratés, *De victu* I,17; I,21; I,22 (*De diaeta* Littré).